3 ἦ μὴν ἔτι τῆς πνοῆς μου ἐνούσης,
πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥισίν,
4 μὴ λαλήσειν τὰ χείλη μου ἄνομα,
οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα.
5 μή μοι εἴη δικαίους ὑμᾶς ἀποφῆναι, ἕως ἂν ἀποθάνω·
οὐ γὰρ ἀπαλλάξω μου τὴν ἀκακίαν.
6 δικαιοσύνῃ δὲ προσέχων οὐ μὴ προῶμαι·
οὐ γὰρ σύνοιδα ἐμαυτῷ ἄτοπα πράξας.
7 οὐ μὴν δὲ ἀλλὰ εἴησαν οἱ ἐχθροί μου ὥσπερ ἡ καταστροφὴ τῶν ἀσεβῶν,
καὶ οἱ ἐπ' ἐμὲ ἐπανιστανόμενοι ὥσπερ ἡ ἀπώλεια τῶν παρανόμων.
8 καὶ τίς γάρ ἐστιν ἐλπὶς ἀσεβεῖ ὅτι ἐπέχει;
πεποιθὼς ἐπὶ κύριον ἆρα σωθήσεται;
9 ἢ τὴν δέησιν αὐτοῦ εἰσακούσεται κύριος;
ἢ ἐπελθούσης αὐτῷ ἀνάγκης
10 μὴ ἔχει τινὰ παρρησίαν ἔναντι αὐτοῦ;
ἢ ὡς ἐπικαλεσαμένου αὐτοῦ εἰσακούσεται αὐτοῦ;
11 ἀλλὰ δὴ ἀναγγελῶ ὑμῖν τί ἐστιν ἐν χειρὶ κυρίου·
ἅ ἐστιν παρὰ παντοκράτορι, οὐ ψεύσομαι.
12 ἰδοὺ δὴ πάντες οἴδατε ὅτι κενὰ κενοῖς ἐπιβάλλετε.
13 αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ κυρίου,
κτῆμα δὲ δυναστῶν ἐλεύσεται παρὰ παντοκράτορος ἐπ' αὐτούς.
14 ἐὰν δὲ πολλοὶ γένωνται οἱ υἱοὶ αὐτοῦ, εἰς σφαγὴν ἔσονται·
ἐὰν δὲ καὶ ἀνδρωθῶσιν, προσαιτήσουσιν·
15 οἱ δὲ περιόντες αὐτοῦ ἐν θανάτῳ τελευτήσουσιν,
χήρας δὲ αὐτῶν οὐθεὶς ἐλεήσει.
16 ἐὰν συναγάγῃ ὥσπερ γῆν ἀργύριον,
ἴσα δὲ πηλῷ ἑτοιμάσῃ χρυσίον,
17 ταῦτα πάντα δίκαιοι περιποιήσονται,

3$^{1}$ η] ει BA | ενουσης] + εν εμοι AO† | 3$^{2}$ το] ετι A† | μοι εν ρισιν] εν ρημασιν μου A$^{r}$† | ρινι BS*† || 4$^{1}$ μη λαλ.] ου μη λαλησει A† | τα χειλη] το στομα A† | ανομα ... 4$^{2}$ αδικα] tr. A† || 5$^{2}$ μου / την ακακ.] tr. A pl. || 6$^{2}$ ατοπον A† || 7$^{2}$ επ εμε επανισταν.] επανισταν. μοι A† | ανομων S† || 8$^{1}$ και] ναι μην A† | εστιν] + ετι A† | ελπις ασεβει] tr. S† | 8$^{2}$] pr. μη A | πεπ.] + δε S$^{c}$† | αρα] pr. ει A† || 9$^{1}$ εισακουσεται] ακουση A† | κυριος] pr. ο A†, ο θεος BS†: cf. 2 | 9$^{2}$ η επελθ.] επελθ. δε A || 10$^{1}$ εχ⟨ε⟩ιν S | τινα] τι S*†, > A† | εναντι BS†] -τιον rel. | 10$^{2}$ ως] πως AS$^{c}$† | αυτου 1$^{0}$] -τον S$^{c}$ mu. || 11$^{1}$ αναγγελλω S† | 11$^{2}$ παντοκρ.] pr. τω A || 12 δη > B† | παντες οιδατε (sic etiam O)] παντες υμεις εορακατε A†: = 𝔐 | οτι (sic etiam O)] δια τι δε A† (incipit stichum): = 𝔐 | επιβαλλεσθε A† || 13$^{2}$ κτημα] οργη AS$^{c}$† | ελευσεται] pr. εξ A†, pr. επ C compl. || 14$^{1}$ δε > A† | αυτων B || 15$^{1}$ > B*† | αυτων A† | εν θαν.] κακω θαν. A, εν > C pl. | 15$^{2}$ χηρας δε] και χ. A†: cf. 3 12 || 16$^{2}$ ετοιμ. χρυσ.] tr. A† || 17$^{1}$ ταυτα] + δε S†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/318 UNIVERSITÄT LEIPZIG